3 (224 K)

Athenaevs 504 a. παρατιθέμενος Μενάνδρου . . . καὶ πάλιν ἐκ Θεοφορουμένης·

καὶ ταχὺ
πάλιν τὸ πρῶτον περισοβεῖ ποτήριον
αὐτοῖς ἀκράτου.

4 (226 K)

Athenaevs 472 b. θηλυκῶς δὲ τὴν Θηρίκλειον εἶπε Μένανδρος ἐν Θεοφορουμένηι·

μέσως μεθύων ⟨τὴν⟩ Θηρίκλειον ἔσπασεν.

5 (227 K)

Scholion in Platonis *Clitophontem* 407 a.

ἀπὸ μηχανῆς θεὸς ἐπεφάνης·

ἐπὶ τῶν ἀπροσδοκήτως ἐπ' ὠφελείαι καὶ σωτηρίαι φαινομένων. Μένανδρος Θεοφορουμένηι.

6 (228 K)

Scholion in Platonis *Phaedonem* 99 d. παροιμία "δεύτερος πλοῦς", ἐπὶ τῶν ἀσφαλῶς τι πραττόντων, παρ' ὅσον οἱ διαμαρτόντες κατὰ τὸν πρότερον πλοῦν ἀσφαλῶς παρασκευάζονται τὸν δεύτερον. ἐμνήσθη δὲ ταύτης . . . καὶ Μένανδρος . . . Θεοφορουμένηι.

7

Photivs Berolinensis 118. 1. ἀναπετῶ· ἀναπετάσω. Μένανδρος Θεοφορουμένηι.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/156 UNIVERSITÄT LEIPZIG